**ἰαμβεῖον τρίμετρον ἀκατάληκτον**

Dion. Hal. *de comp. verb.* 25 (p. 129. 2 sqq. Usener-Radermacher) ἰαμβεῖον γάρ ἐστι καὶ τοῦτο τρίμετρον ὀρθόν· (Dem. 23. 1)

ἀλλ᾽ εἴπερ ἄρ᾽ ὀρθῶς ἐγὼ λογίζομαι,

τοῦ ʻἄραʼ συνδέσμου μακρὰν λαμβάνοντος τὴν προτέραν συλλαβήν.

Schol. in Aristoph. *Ach.* 1174a (p. 145. 1 sq. Wilson) vet ὦ δμῶες] εἰσέρχεται γὰρ ὁ ὑποκρίτης. καὶ ἔστιν (*scil.* vv. 1174 sqq.) ἰαμβεῖα τρίμετρα ἀκατάληκτα ις΄.

Schol. rec. in Aristoph. *nub.* 1085b. 13 sqq. (p. 153 Koster) Tr1 ἦν δ᾽ εὐρύπρωκτος διπλῆ καὶ ἔκθεσις μέλους τῶν ὑποκριτῶν ἀμοιβαία, ἔχουσα μὲν ἰαμβεῖα τρίμετρα τέσσαρα πληρούμενα εἰς τὸ (v. 1088) ʻφέρε δή μοι φράσονʼ, δίμετρα δὲ ἰαμβεῖα καὶ μονόμετρα ἑξῆς κ΄.

Schol. vet. in Aristoph. *nub.* 1154a (p. 213. 14 sqq. Holwerda) βοάσομαί γ᾽ ἄρα E] διπλῆ καὶ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον τῶν ὑποκριτῶν εἰκοσίκωλον, ὧν τὰ μὲν β΄ ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς· τὰ δὲ ἑξῆς δύο (*scil.* vv. 1156 sqq.) ἐν ἐκθέσει ἰαμβεῖα τρίμετρα ἀκατάληκτα. ERs

Schol. vet. in Aristoph. *nub.* 1444a (p. 245. 14 sqq. Holwerda) τοῦθ᾽ ἕτερον αὖ μεῖζον] διπλῆ καὶ μέλος ἀμοιβαῖον, οὗ ἡ ἀρχὴ ʻτοῦθ᾽ ἕτερον αὖ μεῖζονʼ, τέλος δὲ (v. 1451) ʻκαῖ τὸν λόγον τὸν ἥττωʼ. ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα <τὰ> μέσα τρία· καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν.

[*G.M.*]